τὸ ὑπὸ τὸ αὐτὸ εἶδος ἐκεῖνο, τὸ ὑπὸ τοῦ κοίνου αὐτῶν ὀνόματος σημαινόμενον:

Τοῦ δυνάμει, φησί, καὶ ἐντελεχείᾳ καθ' ἕκαστον γένος θεωρηθέντος, τὴν τοῦ δυνάμει ὄντος ἐνέργειαν, ᾗ τοιοῦτον, κίνησιν λέγω· τὸ δὲ ᾗ τοιοῦτον οὕτω νόει, καθὸ δυνάμει ἐστί· καθὸ γὰρ ἐνεργείᾳ ἐστίν, οὐδὲν κινεῖται· οὐ μέντοι οὐδὲ καθὸ δυνάμει μόνον ὂν καὶ ἐν μόνῃ ἐπιτηδειότητι· οὐδὲ γὰρ τότε κινεῖται· ἀλλ' ὅταν ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβάλλῃ, μένοντος ἐν αὐτῷ ἔτι τοῦ δυνάμει:

Ἡ ἐνέργεια τοῦ οἰκοδομητοῦ, καθὸ οἰκοδομητόν, καὶ τὸ ἐνεργείᾳ αὐτοῦ οἰκοδόμησις· οἰκοδόμησις δὲ κίνησις· ἡ τοῦ οἰκοδομητοῦ ἄρα, καθὸ οἰκοδομητόν, ἐστὶν ἐνέργεια, καὶ κίνησίς ἐστιν:

Προσθεῖναι βούλεται τῷ λόγῳ τῆς κινήσεως. Ἐπεὶ γὰρ ἐντελέχεια τοῦ δυνάμει ὄντος ἡ κίνησις ἀποδέδεικται, ἵνα μὴ νομίσῃ τις ὅτι μόνον δυνάμει ἐστὶ τὸ τοιοῦτον, προσθήσει μετ' ὀλίγον τὸ ἐνεργείᾳ ὂν ἄλλο τι, καὶ ἄλλο δυνάμει. Ὅταν κατὰ τὸ δυνάμει ἢ αὐτὸ ἐνεργῇ, ἢ ὑπ' ἄλλου ἐνεργῆται, ἡ τοιαύτη ἐνέργεια κίνησίς ἐστιν. Εἰκότως οὖν προλαμβάνει, ὅτι τὰ φυσικὰ ἐν οἷς ἡ κίνησις καὶ δυνάμει καὶ ἐνεργείᾳ ἐστίν, καὶ ποιεῖ καὶ πάσχει. Καλῶς δὲ ἔνια εἶπε· οὐ γὰρ πάντα τοιαῦτά ἐστιν· τὰ γὰρ νοερὰ καὶ θεῖα οὐδὲν ἔχει δυνάμει, διότι τῇ οὐσίᾳ εἰσὶν ἐνεργείᾳ, ὡς αὐτός φησιν. Τὰ μέντοι οὐράνια σώματα, καὶ σώματα ὄντα, κατὰ μὲν τὴν οὐσίαν οὐκ ἔχει τὸ δυνάμει, γενέσεως καὶ φθορᾶς ἐξῃρημένα· κατὰ δὲ τὴν τοπικὴν κίνησιν, οὕτω ἐξ ἀκινησίας εἰς κίνησιν μεταβάλλειν· ἀλλὰ τῷ μὴ πάντα ἅμα πανταχοῦ εἶναι τὰ μόρια, ἴσως δὲ καὶ κατὰ τοὺς πρὸς ἄλληλα πάντων διαφόρους σχηματισμούς, πάσχει τι ἐνυπάρχον αὐτοῖς δυνάμει. Ἀλλ' εἰ καὶ κινούμενα αὐτὰ ὑπὸ τῶν πρώτων αἰτίων, κινεῖ τὰ ὑπὸ σελήνης· ταῦτα γὰρ κινοῦντα ἀντικινεῖται ὑπὸ τῶν κινουμένων διὰ τὸ ἐκ τῶν αὐτῶν συγκεῖσθαι στοιχείων. Τοιγαροῦν πάσχει μὲν κατὰ τὴν ὕλην ἕκαστον, καθ' ἣν τὸ δυνάμει ἔχει· δρᾷ δὲ κατὰ τὸ εἶδος, καθὸ ἐνεργείᾳ ἐστὶν ὅ ἐστιν· τὰ γὰρ θερμαίνοντα ἀντιψύχεται, καὶ τὰ ψύχοντα ἀντιθερμαίνεται:

f. 62 | Νῦν ἤδη τελειότερον ἀποδίδωσι τὸν τῆς κινήσεως ὁρισμόν· προστίθησι γὰρ ὅτι τὸ δυνάμει ἐκεῖνο, οὗ ἐνέργεια ἡ κίνησις, οὐ μόνον δυνάμει ἐστίν, ἀλλ' ἔστι μέν τι πάντως καὶ ἐνεργείᾳ, εἴπερ ἕκαστον ὥρισται τῇ φύσει, ἡ δὲ κίνησις ἐνέργεια αὐτοῦ ἐστιν, οὐ καθὸ ἐνεργείᾳ ἐστίν· ταύτῃ γὰρ ἠρεμεῖ καὶ κινεῖ μᾶλλον ἢ κινεῖται καὶ μεταβάλλεται· ἀλλὰ καθὸ δυνάμει ἐστίν. Ὁ δὲ Ἀλέξανδρος μᾶλλον ἀποδέχεται τὴν ἄλλην γραφήν, Πορφυρίῳ συμφωνῶν, καὶ τὸ μὲν „ἢ αὐτό“ νοεῖ περὶ τῶν φυσικῶν καὶ ἔνδοθεν κινουμένων· τὸ δὲ „ἢ ἄλλο“ νοεῖ περὶ τῶν ἔξωθεν κινουμένων, βίᾳ δηλονότι, ἢ

26-27 *διὰ τό*: *διὰ τῶν* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κατὰ τέχνην. Ὁ δὲ Σιμπλίκιος, τῇ ἄλλῃ ἀρεσκόμενος, καὶ ταύτην ὅμως ἄμεινον ἐξηγεῖται τοῦ Ἀλεξάνδρου· φησὶ γάρ· „Εἰ δὲ καὶ ἡ ἄλλη γραφὴ ἔχει τινὰ λόγον, τὸ μὲν ἐξ ἑαυτοῦ οὐχ ὡς ἐφ' ἑνὸς ἀκουστέον, ἀλλ' ὡς ἔνδον ἔχοντος τὸ κινοῦν αἴτιον, εἰ καὶ ἄλλο παρὰ τὸ κινούμενόν ἐστιν, ὡς ἡ ψυχὴ καὶ ἡ φύσις.“ Τὸ δὲ ἐξ ἄλλου οὐκ ἐπὶ τῶν τεχνικῶν, ἀλλ' ἐπὶ τῶν ἔξωθεν μέν, ἀλλὰ φυσικῶς κινουμένων, οἷον ὅταν ἐξ ὕδατος πυρουμένου ἀὴρ γίνηται, καὶ πῦρ ἐπὶ τῶν ἀλλοιουμένων· ἡ γὰρ βίαιος, φησί, καὶ ἡ τεχνικὴ οὐκ ἔστι φυσικὴ κίνησις.

Καὶ ὅτι τὸ κινούμενον κατὰ τὸ ἐν αὐτῷ δυνάμει κινεῖται. Καὶ ὅτι ἔστι καὶ ἐνεργείᾳ τι ἐν τῷ κινουμένῳ, καὶ οὐ κατ' ἐκεῖνο κινεῖται τὸ κινούμενον, σαφῶς δείκνυσι διὰ τῶν παραδειγμάτων, προσαποδεικνὺς ὅτι, κἂν τῷ ὑποκειμένῳ ταὐτὸν ᾖ τὸ ἐνεργείᾳ κατά τι ὂν καὶ κατ' ἄλλο δυνάμει, ἀλλὰ τῷ λόγῳ ἕτερα, καὶ οὐ ταὐτά ἐστι ταῦτα: —

Εἰπὼν ὡς ἡ τοῦ δυνάμει ὄντος ἐνέργεια κίνησίς ἐστιν, ἐπεὶ δοκεῖ τὸ δυνάμει ἐν ἀτελεῖ ἐπιτηδειότητι μόνῃ θεωρεῖσθαι, ἡ δὲ ἐνέργεια τῶν τελείων εἶναι, προτίθεται δεῖξαι, ὡς ἐπὶ τοῦ οἰκοδομητοῦ δυνάμει ὄντος, ὅτι ἔστιν αὐτοῦ ἐνέργεια καὶ ὅτι οὐκ ἄλλη τις εἰ μὴ ἡ οἰκοδόμησις· καὶ ὅτι ἡ οἰκοδόμησις κίνησίς ἐστι. Τὸ δὲ ἐνδέχεσθαι εἶπεν, ὅτι πολλὰ τῶν δυνάμει, πρὸ τοῦ μεταβαλεῖν εἰς τἀνεργείᾳ καὶ κατὰ τοῦτο ἐνεργεῖν ἢ ἐνεργεῖσθαι, φθείρεται. Ἀλλὰ καὶ τὰ κυρίως δυνάμει, ἤγουν τὰ ἐν γενέσει καὶ φθορᾷ, ὅταν ἐνεργῇ κατὰ τὸ δυνάμει, ἐνδεχομένως ἐνεργεῖ καὶ οὐκ ἀναγκαίως. Ἀρκεῖ δὲ ὅμως πρὸς τὸν λόγον, κἂν μὴ πάντα τὰ δυνάμει, ἀλλά τινα, μεταβάλλῃ εἰς τὸ ἐνεργείᾳ: —

**Chapitre II.** — Εἰπὼν τὴν ἑαυτοῦ δόξαν καὶ ἔτι τὰς τῶν προτέρων περὶ κινήσεως, μεταβέβηκεν κἀκ τῆς ἐκείνων ἐννοίας, δηλῶν ὅτι καλῶς αὐτὸς ὡρίσατο. Κἀκεῖνοι γὰρ εἰς ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὂν τιθέασι τὴν κίνησιν, ὅτι ἀόριστόν τι δοκεῖ· δύο γὰρ οὐσῶν συστοιχιῶν παρὰ τοῖς Πυθαγορείοις, ὧν ἐν τῇ ἑτέρᾳ ἐστὶν ἡ κίνησις, τῇ τὰς ἀρχὰς ἐχούσῃ στερητικὰς καὶ ἀορίστους, ἐν αἷς καὶ ἑτερότης καὶ ἀνισότης καὶ τὸ μὴ ὄν· αἱ γὰρ δέκα ἀντιθέσεις ὡς ἀρχαὶ παρελήφθησαν εἰκότως· ἀόριστόν τι δοκεῖ ἡ κίνησις καὶ ἐκείνοις, ὥσπερ καὶ ἡμῖν· πλὴν ὅτι ἐκείνοις μὲν δοκεῖ ἐν στερητικῇ καὶ ἀορίστῳ συστοιχείᾳ κεῖσθαι διὰ τὴν πρὸς τὸ ὡρισμένον τῆς στάσεως ἀντίθεσιν· ἡμῖν δέ, διὰ τὸ μήτε ἐν τῷ δυνάμει, μήτε ἐν τῷ ἐνεργείᾳ δυνατὸν εἶναι τιθέναι αὐτήν. Καὶ γὰρ καὶ τὸ δυνάμει μόνον οὔπω κινεῖται, καὶ τὸ ἐνεργείᾳ οὐκέτι κινεῖται· ἀτελὴς γὰρ ἐνέργεια ἐστὶν ἡ κίνησις· διὸ εἰκότως δοκεῖ εἶναι ἀόριστος. Εὐθύνει δὲ τὸν λόγον τῶν ἑτεροτήτων καὶ ἀνισοτήτων καὶ μὴ ὂν φασκόντων εἶναι τὴν κίνησιν. Ἔδει γάρ, φησί, ταῦτα εὐθὺς καὶ κινεῖσθαι· νῦν δὲ οὐ φαίνεται τοιοῦτον καθὸ κινούμενον· πάντα γὰρ τὰ ὄντα ἕτερα ἀλλήλων, καὶ ὅμως οὐ κινεῖται πάντα. Εἰ δέ τις λέγοι, ὅτι εἰς ταῦτα τὰ κινούμενα κινεῖται, ἢ ἐκ τούτων,

καὶ διὰ τοῦτο δοκεῖ ταῦτα ἡ κίνησις, προλαμβάνων ταύτην τὴν ἔνστασιν· Ἡ μεταβολή, φησίν, οὐδὲ εἰς ταῦτα, οὐδὲ ἐκ τούτων μᾶλλόν ἐστιν ἢ τῶν ἀντικειμένων καὶ εἰς τὰ ἀντικείμενα, οἷον καὶ ταὐτότητος καὶ ἰσότητος καὶ τοῦ ὄντος καὶ εἰς ταῦτα.

f. 62ᵛ | Εἰπὼν πρότερον, ὅτι πάντα τὰ κινοῦντα φυσικῶς καὶ αὐτὰ κινητά ἐστι, βούλεται νῦν ἅμα μὲν τεκμήριον παραθέσθαι ἐναργὲς τῶν ἐν τῷ κινεῖν ἀντικινουμένων, ἅμα δέ, ὥς φησιν Ἀλέξανδρος, καὶ χωρίσαι τὸ θεῖον σῶμα τοῦ ἀντικινεῖσθαι καὶ ἀντιπάσχειν. Ἑνὶ δὲ τεκμηρίῳ ἔοικε χωρίζειν τὸ φυσικῶς κινοῦν καὶ ἀντικινούμενον ἐν τῇ γενέσει τοῦ τε ἀκινήτως κινοῦντος, ἤγουν τῆς πρώτης καὶ νοερᾶς οὐσίας, καὶ τοῦ ἀεικινήτως κινοῦντος, ὥσπερ τῶν οὐρανίων. Καὶ γὰρ τὸ μὲν φυσικῶς κινοῦν, δυνάμει ὂν κινητόν, κινεῖ· διὸ καὶ ἀντικινεῖται, καὶ οὐ κινητὸν μόνον ἐστίν, ἀλλὰ καὶ κινητικόν. Οὐχ ὁμοία δὲ ἡ τούτου τε καὶ τῆς πρώτης οὐσίας ἀκινησία, ἀλλ᾽ ἐπὶ μὲν τῶν φυσικῶν, ὥς ποτε κινουμένων, ἡ ἀκινησία, καὶ διὰ τοῦτο ἠρεμία λέγεται· ᾧ γὰρ ἡ κίνησις ὑπάρχει, τούτου ἡ ἀκινησία ἠρεμία. Ἐπὶ δὲ τῆς πρώτης οὐσίας ἀκινήτου παντάπασιν οὔσης, ἡ ἀκινησία οὐχ ἠρεμία, ἀλλὰ ταὐτότης καὶ ἀμετάβλητος ἀεὶ κατάστασις. Καὶ τῶν οὐρανίων δὲ διακρίνεται τὰ ἐν γενέσει καὶ φθορᾷ· οὔτε γὰρ ἀντικινεῖται κινοῦντα εἰ μὴ ὑπὸ τῶν πρώτων αἰτίων, οὔτε δυνάμει κινητά εἰσιν, εἰ μὴ πρὸς ἄλλην κίνησιν καὶ ἄλλην κίνησιν τὸ δυνάμει λαμβάνηται, διότι ἄλλοτε ἐν ἄλλῳ καὶ ἄλλῳ τόπῳ τὰ μέρη κινοῦνται, ἀλλ᾽ οὐκ ἠρεμεῖ ταῦτα, ὥσπερ οὐδὲ αἱ πρῶται οὐσίαι, πλὴν ὅτι ἐκεῖναι μὲν οὐκ ἠρεμοῦσι, διότι οὐδὲ κινεῖσθαι πεφύκασιν· ταῦτα δέ, διότι ἀεικίνητά ἐστιν. Ὅτι δὲ ἠρεμία ἡ τῶν πεφυκότων κινεῖσθαι, καὶ οὐχ ἡ τῶν πάντη ἀκινήτων ἀκινησία, δείκνυσιν, οἶμαι, ἐκ τοῦ τὸ κινεῖν ἐνεργεῖν εἶναι τὸ κινητικὸν πρὸς τὸ κινητόν, ὃ πρὸ τοῦ ἐνεργεῖσθαι δυνάμει μόνον ἀκίνητον καὶ ἠρεμοῦν ἐστι, καθ᾽ ἣν μέλλει κινεῖσθαι κίνησιν:

Δείξας ὅτι τὸ κινούμενον, ἕως ἂν κινῆται, φυλάττει τὸ ἀτελὲς καὶ τὸ δυνάμει, εἰκότως ἐπισημαίνεται περὶ τοῦ κινοῦντος, ὅτι τοῦτο τέλειον εἶναι χρὴ καὶ εἶδος ἔχειν εἰς ὃ ἄγει τὸ κινούμενον ὑφ᾽ ἑαυτοῦ· ἀλλὰ πῶς ἐπὶ τοῦ κατὰ τόπον κινητικοῦ; Οὐ γὰρ τόπος οὐδ᾽ ἐν τόπῳ τὸ κινοῦν· ἢ ἐν τελειότητι μὲν ἀνάγκη καὶ ἐπ᾽ ἐκείνων εἶναι τὸ κινοῦν, οὐ μὴν καὶ ἐν τόπῳ· ἡ γοῦν ψυχὴ κινεῖ τὸ σῶμα, οὐκ ἐν τόπῳ οὖσα:

**Chapitre III.** — Μετὰ τὸ ἀποδοῦναι τὸν τῆς κινήσεως ὁρισμὸν καὶ τὴν προσήκουσαν αὐτοῦ διόρθωσιν ποιήσασθαι, μεταβαίνει λοιπὸν ἐπὶ τὸ δεύτερον τῶν περὶ κινήσεως προβλημάτων, ζητῶν καὶ διακαθαίρων ἐν τίνι ἐστὶν ἡ κίνησις· συμβεβηκὸς γὰρ οὖσα, ἀνάγκη ἔν τινι οὐσίᾳ αὐτὴν εἶναι. Λέγει οὖν ὅτι τὸ ἀπορούμενον· πότερον ἐν τῷ κινοῦντι, ἢ ἐν τῷ κινου-

6 *ἐναργὲς*: *ἐναργῆ* **A**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένῳ, ἢ ἐν ἀμφοτέροις ἡ κίνησις· λέλυται ἐκ τοῦ τῆς κινήσεως ὁρισμοῦ. Φανερὸν γὰρ ὅτι ἐν τῷ κινητῷ ἐστιν ἡ κίνησις, εἴπερ ἐντελέχειά ἐστι τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ. Ἀλλὰ καὶ ἡ τοῦ κινητικοῦ ἐνέργεια οὐκ ἄλλη ἐστίν, ἀλλὰ μία ἡ ἀμφοῖν, ὡς μὲν ἀπὸ τοῦ ποιοῦντος ἐνέργεια λεγομένη· ὡς δὲ ἐν τῷ κινουμένῳ, πάθος μᾶλλον. Ἐνέργεια δὲ καὶ αὕτη λέγεται, καθόσον κἂν ἔξωθεν ἔχῃ τὴν ἀρχήν, ἀλλ' ὑπὸ τῆς ἐν ἑαυτῷ φύσιν ἔχει τὸ κινεῖσθαι κατὰ τὴν οἰκείαν ἐπιτηδειότητα:

Εἰπὼν ὅτι μία ἐστὶν ἡ κίνησις ἀπὸ τοῦ κινοῦντος ἐν τῷ κινουμένῳ, τὴν ἐνοχλοῦσαν τοῖς μὴ οὕτως ἐκδεχομένοις ἀπορίαν διαρθροῖ, ἣν λογικὴν καλεῖ, ἢ ὡς ἐξ ἐνδόξων προϊοῦσαν, ἢ ὡς ἐν λόγῳ μόνῳ τὸ πιθανὸν ἔχουσαν, ἢ ὡς κοινοτέραν, καὶ οὐ προσεχῆ οὐδ' ἐξ οἰκείων ἀρχῶν.

---

# Corrections.

| *Page* | *ligne* | *au lieu de* | *lire* |
|---|---|---|---|
| 5 | 18 | *εἶτουν . . . αἷς* | *εἴτουν . . . αἷς* |
| 5 | 25 | *ὅ* | *ὃ* |
| 6 | 28 | | ajouter 3 *πλείστον* C |
| 16 | 18 | *ειλημμενος* | *εἰλημμένος* |
| 19 | 16 | *γεννηθῇ* | *γεννηθῇ* |
| 24 | 7 | *δείκνυουσι* | *δεικνύουσι* |
| 26 | 9 | *ἐκάστη* | *ἑκάστῃ* |
| 26 | 11 | *τὸ* | *τὰ* |
| 26 | 25 | *δίδασκαλίας* | *διδασκαλίας* |
| 47 | 31 | *Στοϊκῶν* | *Στωϊκῶν* |
| 197 | 16 | *διπλάσια* | *διπλάσιά* |
| 199 | 6 | *δευτέρον* | *δεύτερον* |
| 205 | 36 | *πικίλλουσι* | *ποικίλλουσι* |
| 207 | 14 | *δια* | *διὰ* |
| 207 | 22 | *γίνεται* | *γίνεταί* |
| 350 | 20 | *Ἵππαλος* | *Ἵππασος* |
| 400 | 19 | *ὅρμῆς* | *ὁρμῆς* |

---

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Table des noms propres du texte grec.[1]


*Α*

*Ἀβερόης*: 3, 18, 20; 20, 17; 34, 39; 133, 2; 214, 22; 220, 15; 230, 27; 337, 3; 493
*Ἀβικένας*: 3, 18; 16, 7; 79, 12
*Ἀγαμέμνων*: 67
*Ἀθῆναι*: 52, 13; 173, 16
*Αἰγόκερως*: 417, 1
*Αἴγυπτος*: 31, 2; 474, 25
*Αἰγών*: 473, 30
*Αἰθιοπικὰ (ὄρη)*: 473, 30
*Αἴτνη*: 31, 4
*Ἀκαδημία*: 47, 25
*Ἀκραταντῖνος*: 414, 19
*Ἀλβέρτος (ὁ ἅγιος)* (St Albert le Grand): 15, 19; 27, 10; 28, 32; 35, 3; 191, 17; 347, 32
*Ἀλέξανδρος ὁ Φιλίππου*: 2; 3; 124, 3
*Ἀλέξανδρος ὁ Πάρις*: 124, 3
*Ἀλέξανδρος (φιλόσοφος)* 230, 27; 254, 37; 259, 31; 264, 5; 279, 15; 497; 506, 36; 507, 2
*Ἀλκιβιάδης*: 398, 14
*Ἀλκμαίων*: 431, 33
*Ἀμμωνία*: 474, 26
*Ἀμμώνιος*: 3, 16; 8, 19; 34, 40; 63; 161, 27; 209, 15; 219, 11; 230, 27; 250, 21; 251, 12; 255, 8; 319, 26; 337, 33; 338; 339, 5
*Ἀναξαγόρας*: 350; 361, 21; 363, 25; 372, 30; 399, 20; 411, 2; 426; 431, 8; 432, 1; 477, 11; 478, 3; 479, 23; 486, 31; 487, 7; 492; 493
*Ἀναξίμανδρος*: 399, 14; 486, 31; 492, 25
*Ἀναξιμένης*: 350, 20; 431, 31; 474, 32; 478, 6; 487, 1; 492, 19
*Ἀπολλωνιάτης*: 350, 21
*Ἀράξης*: 473, 19
*Ἀργεία*: 474, 20
*Ἄργος*: 474, 18
*Ἀργυρόν (ὄρος)*: 473, 30
*Ἀριστοτέλης*: 1 à 348 passim; 349; 355; 365; 366; 414; 421; 423; 462, 26; 479, 26; 488; 490; 496; 500; 501
*Ἀρκαδία*: 473, 38
*Ἀρμήνια (ὄρη)*: 473, 27
*Ἀρχύτας*: 42, 13
*Ἀσπάσιος*: 259, 27
*Ἄτλας*: 483, 12
*Ἀτρείδης*: 67, 8
*Ἀτρεύς*: 67, 10
*Ἀφροδίτη*: 421, 36
*Ἀχελῷος*: 473, 32
*Ἀχιλλεύς*: 391, 5, 7
*Ἀχλεία*: 474, 20

*Β*

*Βάκτρος*: 473, 19
*Βοήτιος*: 8, 13; 9; 15; 16; 17, 39; 32, 11; 33, 24; 34, 40; 44, 20; 72, 27; 97, 2; 106; 120, 37; 131, 19; 160, 18; 161, 13; 176, 13; 179, 26; 190, 7; 214, 35; 242, 6; 293, 28
*Βόσπορος*: 474, 27
*Βρίτων*: 80, 1

*Γ*

*Γαλατία*: 55, 30
*Γαληνός*: 459, 31
*Γάσειρα (τὰ)*: 424, 37
*Γερμανία*: 55, 31
*Γιλμπέρτος (Πορρετάνος)*: 15, 18; 214, 35

*Δ*

*Δημόκριτος*: 350, 11; 355, 34; 359, 10; 361, 21; 399, 15; 412, 27; 426; 427, 8; 431, 3; 443, 27; 461; 462, 38; 478, 5; 487, 9
*Διογένης*: 350, 21; 431, 31; 474, 32


[1] Le premier chiffre renvoie à la page, le second à la ligne. Lorsque dans une même page, le même nom revient plusieurs fois, la ligne n'est pas indiquée.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

E

Ἕβρος: 473, 33
Ἑλλάς: 462, 31; 473, 32
Ἐμπεδοκλῆς: 350; 355, 34; 358, 16; 399, 16; 414, 19; 424, 1; 431; 449, 30; 475, 1; 479, 22; 487, 4; 492; 502
Ἐπικούριοι: 47, 33
Ἐπίκουρος: 399, 15
Ἑρμῆς: 421, 35
Ἐρυθρὰ θάλασσα: 474, 25
Εὔξεινος Πόντος: 461, 5; 472, 37; 473, 26; 474, 4; 479, 3
Εὐρώπη: 473, 26, 27, 29

Z

Ζεύς: 67, 8, 9, 12
Ζήνων: 368, 7; 369; 371, 40; 390, 27, 34; 391, 1; 398, 37; 400, 36; 406, 20; 492, 10

H

Ἤπειρος: 479, 8
Ἡράκλειαι Στῆλαι: 473, 25
Ἡράκλειτος: 350, 20; 399, 17; 401, 6; 414, 18; 425, 29; 431, 33; 486, 30
Ἡρακλῆς: 52, 11, 18; 424, 37.
Ἡσίοδος: 367, 23; 425, 27

Θ

Θαλῆς: 350, 19; 424, 2; 431, 29; 435, 15; 486, 28
Θαργήλια: 483, 26
Θεμίστιος: 3, 17; 61, 3; 194, 6;
Θεόφραστος: 3, 9; 481, 18; 486, 7
Θερσίτης: 283, 4
Θῆβαι: 52, 12; 474, 16
Θωμᾶς ὁ ἐξ Ἀκίνου: 4, 34; 5, 3; 7, 6; 18, 29; 77, 21; 135, 26; 300, 29

I

Ἴλιον: 389, 6, 19
Ἴναχος: 473, 32
Ἰνδικὴ θάλασσα: 424, 38
Ἰνδός: 743, 21
Ἵππασος: 350, 20; 486, 30
Ἵππων: 350, 19; 431, 34; 486, 30
Ἴστρος: 473, 25
Ἰταλία: 55, 30; 423, 31

K

Καύκασος: 473, 21, 22; 474, 2
Κελτική: 473, 24
Κικέρων: 2, 34; 29, 16
Κλείδημος: 479, 24
Κλέων: 448, 29; 450, 8
Κόραξοί: 474, 4
Κορίσκος: 456, 4, 5
Κρόνος: 67, 14; 421, 14, 29
Κρίος: 378, 35, 36
Κριτίας: 431, 36
Κωνσταντῖνος ὁ Παλαιολόγος: 1, 1
Κωνσταντινούπολις: 272, 35

Λ

Λατῖνοι: 3; 6, 6; 214, 38; 250, 8
Λεύκιππος: 399, 15; 412, 27; 426; 431, 4; 487, 9
Λιβύη: 473, 29; 474, 26
Λύγκος (ἡ): 476, 3
Λυκεῖον: 47, 27
Λυκόπολις: 31, 2

M

Μαγεντηνός: 3, 32
Μαιῶτις (λίμνη): 473, 20; 474, 27
Μακεδονία: 476, 2
Μέλισσος: 350; 365, 20; 373, 1; 425, 21; 486; 487, 18
Μέμφις: 474, 17
Μητρόδωρος ὁ Χῖος: 487, 11
Μυκῆναι: 474, 19

N

Νεῖλος: 473, 32
Νέστος: 473, 33
Νιρεύς: 283, 2
Νέσις: 473, 30

Ξ

Ξενοκράτης: 47, 29; 414, 17; 429, 37; 431, 28; 434, 33; 492, 10

O

Ὅμηρος: 379, 36; 391, 7; 449, 30; 474, 16
Ὀρέστης: 52, 10
Ὀρφαϊκὰ ἔπη: 435, 10

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

*Π*

*Παλαιστίνη*: 475. 37
*Πάρις*: 124, 3
*Παρμενίδης*: 350; 365, 20; 400. 35; 425, 21; 486; 487, 18; 492, 3
*Παρνασσός*: 473, 19
*Πελοπίδης*: 67, 8
*Πελοπόννησος*: 272. 35; 473, 38
*Πέλοψ*: 67, 10
*Πίνδαρος*: 52, 12
*Πίνδος*: 473, 32
*Πλάτων*: 47; 52, 12; 65, 2; 67, 36; 68, 17; 69; 72; 91; 195, 10; 240, 3; 258. 17; 259, 9; 270, 4; 350; 361; 365; 368; 399, 18; 414, 17; 415, 12; 425, 29; 427, 6; 431; 432, 29; 492, 4; 500, 20
*Πλώτινος*: 31, 2; 42, 13
*Πολύκλειτος*: 355
*Πόντος*: 461, 5; 472, 37; 473, 26; 474, 4; 479, 3
*Πορρετάνος*: voir *Γιλμπέρτος*
*Πορφύριος*: 3; 5, 14; 7, 2; 15-18; 27, 35; 30-32; 38-41; 46-50; à 87 passim? 113; 114; 119; 129; 136; 139; 140; 147; 153; 202; 230; 278; 338, 30; 348, 37; 506, 36
*Ποσειδῶν*: 67, 14
*Πτολεμαῖος*: 300. 25; 421, 34
*Πυθαγόρειοι*: 361, 16; 365, 7; 373, 10; 385, 31; 409, 15; 420, 26; 423; 425, 29; 431, 29; 436, 16; 507, 28
*Πυρήνη*: 473, 24

*Ῥ*

*Ῥῖπαι*: 473, 29
*Ῥωμαῖοι*: 2, 8; 51, 29
*Ῥώμυλος*: 51, 31

*Σ*

*Σικελία*: 31, 4
*Σιμπλίκιος* 3, 10, 17; 35, 29; 497; 507
*Σκυθεία*: 473, 28
*Σκυθικὴ λίμνη*: 476, 3
*Σκόμβρον* (τὸ): 473, 33
*Σολομών*: 7, 10
*Στρυμών*: 473, 33
*Στωϊκοί*: 47, 31; 250, 12; 399, 17; 487, 2
*Συριανός*: 3, 10

*Τ*

*Τάναϊς*: 473, 20
*Τανταλίδης*: 67, 8
*Τάνταλος*: 52, 10; 67, 10
*Ταρτησσός*: 473, 25
*Τίμαιος* (ouvrage de Platon): 258, 17; 298, 3; 368, 14; 427, 6; 431, 17; 432, 29
*Τίμαιος ὁ φιλόσοφος*: 435, 20
*Τούλλιος* 29, 16 (voir *Κικέρων*)
*Τροία*: 389, 8, 10

*Υ*

*Ὕλλος*: 52, 11

*Φ*

*Φᾶσις*: 473, 21
*Φίλιππος*: 124, 3
*Φιλόπονος*: 3, 31
*Φοινίκη*: 461, 5

*Χ*

*Χοάσπης*: 473, 19
*Χρεμέτης*: 473, 31
*Χρυσαόριος*: 31, 3; 42, 9

*Ψ*

*Ψελλός*: 3, 32; 266, 3; 338, 9


Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# Table des matières.

**Introduction** . . . . . . . . . . . . . . . . . . . . I-VI

## Commentaires des ouvrages d'Aristote.

**A. Sur les trois premières parties de la logique** . . . . . 1-348

**Épitre dédicatoire à Constantin Paléologue** . . . . . . . . 1-6

PREMIÈRE PARTIE.

**Prolégomènes à la logique et à „l'Isagoge" de Porphyre** . . . 7-113

Leçon I. Utilité de la philosophie . . . . . . . . . . . . . 7-13
Leçon II. Division de la logique . . . . . . . . . . . . . 14-20
Leçon III. Questions diverses . . . . . . . . . . . . . 20-26
Leçon IV. De l'objet de la logique . . . . . . . . . . . 27-30
Leçon V. Prolégomènes proprement dits à l'Isagoge de Porphyre . . 30-36
Leçon VI. Y a-t-il une science des universaux? . . . . . . . 36-41
Leçon VII. Explication sur les cinq universaux . . . . . . . 41-50
Leçon VIII. Du genre . . . . . . . . . . . . . . . 50-57
Leçon IX. Questions diverses . . . . . . . . . . . . . 57-64
Leçon X. De l'espèce . . . . . . . . . . . . . . . 64-69
Leçon XI. Remarques . . . . . . . . . . . . . . . 69-74
Leçon XII. Questions diverses . . . . . . . . . . . . 74-81
Leçon XIII. De la différence . . . . . . . . . . . . 81-87
Leçon XIV. Remarques . . . . . . . . . . . . . . . 88-94
Leçon XV. Du propre . . . . . . . . . . . . . . . 94-99
Leçon XVI. De l'accident . . . . . . . . . . . . . 99-105
Leçon XVII. . . . . . . . . . . . . . . . . . . . 105-113

SECONDE PARTIE.

**Commentaire du livre des Catégories d'Aristote** . . . . . . 114-237

**Prolégomènes** . . . . . . . . . . . . . . . . . . 114

Leçon I. . . . . . . . . . . . . . . . . . . . . 114-119
Leçon II. . . . . . . . . . . . . . . . . . . . . 119-125
Leçon III. . . . . . . . . . . . . . . . . . . . 126-129
Leçon IV. . . . . . . . . . . . . . . . . . . . 129-136
Leçon V. De la substance . . . . . . . . . . . . . . 136-144
Leçon VI. . . . . . . . . . . . . . . . . . . . . 144-147
Leçon VII. . . . . . . . . . . . . . . . . . . . 148-154
Leçon VIII. . . . . . . . . . . . . . . . . . . . 154-160
Leçon IX. De la quantité . . . . . . . . . . . . . . 160-171
Leçon X. . . . . . . . . . . . . . . . . . . . . 171-178
Leçon XI. Des relations . . . . . . . . . . . . . . 178-184
Leçon XII. . . . . . . . . . . . . . . . . . . . 184-195



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Leçon XIII. . . . . . . . . . . . . . . . . . . . . . . . 195-200
Leçon XIV. De la qualité . . . . . . . . . . . . . . . . . 200-207
Leçon XV. . . . . . . . . . . . . . . . . . . . . . . . . 207-215
De l'action et de la passion . . . . . . . . . . . . . . . 213-215
Leçon XVI. Des opposés et des contraires . . . . . . . . . 215-222
Leçon XVII. De la privation et de l'habitus . . . . . . . 222-231
Leçon XVIII. De l'antériorité . . . . . . . . . . . . . . 231-233
De la simultanéité . . . . . . . . . . . . . . . . . . . . 233-234
Du mouvement . . . . . . . . . . . . . . . . . . . . . . . 234-236
De la possession . . . . . . . . . . . . . . . . . . . . . 236-237

TROISIÈME PARTIE.

**Commentaire du livre sur l'interprétation** . . . . . . 238-348
Leçon I. . . . . . . . . . . . . . . . . . . . . . . . . . 238-246
Leçon II. . . . . . . . . . . . . . . . . . . . . . . . . . 246-250
Leçon III. . . . . . . . . . . . . . . . . . . . . . . . . 250-255
Leçon IV. . . . . . . . . . . . . . . . . . . . . . . . . . 256-262
Leçon V. . . . . . . . . . . . . . . . . . . . . . . . . . 262-273
Leçon VI. Deuxième partie . . . . . . . . . . . . . . . . . 273-280
Leçon VII. . . . . . . . . . . . . . . . . . . . . . . . . 280-287
Leçon VIII. . . . . . . . . . . . . . . . . . . . . . . . . 288-296
Leçon IX. . . . . . . . . . . . . . . . . . . . . . . . . . 296-303
Leçon X. Troisième partie . . . . . . . . . . . . . . . . . 303-311
Leçon XI. . . . . . . . . . . . . . . . . . . . . . . . . . 311-321
Leçon XII. Quatrième partie . . . . . . . . . . . . . . . . 321-330
Leçon XIII. . . . . . . . . . . . . . . . . . . . . . . . . 330-335
Remarques . . . . . . . . . . . . . . . . . . . . . . . . . 335-337
Leçon XIV. Cinquième partie . . . . . . . . . . . . . . . . 337-348

**B. Annotations sur les livres d'Aristote** . . . . . . . 349-481

**I. Annotations sur les livres de la Physique** . . . . . 349-408
Sur le livre premier . . . . . . . . . . . . . . . . . . . 349-353
Sur le livre II. . . . . . . . . . . . . . . . . . . . . . 353-358
Sur le livre III. . . . . . . . . . . . . . . . . . . . . . 359-366
Sur le livre IV. . . . . . . . . . . . . . . . . . . . . . 366-375
Du temps . . . . . . . . . . . . . . . . . . . . . . . . . 376-381
Sur le livre V. . . . . . . . . . . . . . . . . . . . . . . 381-387
Sur le livre VI. . . . . . . . . . . . . . . . . . . . . . 388-392
Sur le livre VII. . . . . . . . . . . . . . . . . . . . . . 392-399
Sur le livre VIII. . . . . . . . . . . . . . . . . . . . . 399-408

**II. Annotations sur les quatre livres du „De caelo"** . . . 409-429
Sur le livre I. . . . . . . . . . . . . . . . . . . . . . . 409-415
Sur le livre II. . . . . . . . . . . . . . . . . . . . . . 415-425
Sur le livre III. . . . . . . . . . . . . . . . . . . . . . 425-426
Sur le livre IV. . . . . . . . . . . . . . . . . . . . . . 426-429

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. τ.Ε.Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

**III. Annotations sur les trois livres du „De anima"** . . . . 429-454
Sur le livre I. . . . . . . . . . . . . . . . . . . . . 429-435
Sur le livre II. . . . . . . . . . . . . . . . . . . . . 436-448
Sur le livre III. . . . . . . . . . . . . . . . . . . . 448-454

**IV. Annotations sur d'autres ouvrages et opuscules** . . . . 455-481
Sur le „De memoria et reminiscentia" . . . . . . . . . . . 455-457
Sur le „De somno et vigilia" . . . . . . . . . . . . . . 457-459
Sur le „De insomniis" . . . . . . . . . . . . . . . . . 459-460
Sur le „De divinatione per somnum" . . . . . . . . . . . 460-463
Sur le „De animalium motione" . . . . . . . . . . . . . 463-465
Sur le „De longitudine et brevitate vitae" . . . . . . . 466-467
Sur le „De senectute et juventute, de vita et morte" . . . . . . . . 467-468
Sur le „De respiratione" . . . . . . . . . . . . . . . . 468-470
Sur le livre premier du „De meteorologicis" . . . . . . . 470-474
Sur le livre II. . . . . . . . . . . . . . . . . . . . . 474-479
Sur le livre III. . . . . . . . . . . . . . . . . . . . 479-481
Sur le livre IV. . . . . . . . . . . . . . . . . . . . 481

**V. Fragments divers** . . . . . . . . . . . . . . . . . 482-486
De la privation . . . . . . . . . . . . . . . . . . . . 482
De la possession . . . . . . . . . . . . . . . . . . . 483
De l'origine . . . . . . . . . . . . . . . . . . . . . 483
De la partie . . . . . . . . . . . . . . . . . . . . . 484
De la perfection . . . . . . . . . . . . . . . . . . . 484
Sur la limite . . . . . . . . . . . . . . . . . . . . . 485
Sur l'expression „*καθό*" . . . . . . . . . . . . . . . 485
Sur la disposition, l'habitude, la passion . . . . . . . 485-486

**VI. Notes marginales sur la Physique d'Aristote** . . . . . 486-509

**Corrections** . . . . . . . . . . . . . . . . . . . . . 509
**Table des noms propres** . . . . . . . . . . . . . . . 509-512
**Table des matières** . . . . . . . . . . . . . . . . . 513-515

Imprimerie G. Uschmann à Weimar.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006